γωγῆς μεσοῦντος τοῦ ἐνιαυτοῦ. [23]τρεῖς καιροὺς τοῦ ἐνιαυτοῦ 23
ὀφθήσεται πᾶν ἀρσενικόν σου ἐνώπιον κυρίου τοῦ θεοῦ Ισραηλ·
[24]ὅταν γὰρ ἐκβάλω τὰ ἔθνη πρὸ προσώπου σου καὶ πλατύνω τὰ 24
ὅριά σου, οὐκ ἐπιθυμήσει οὐδεὶς τῆς γῆς σου, ἡνίκα ἂν ἀναβαίνῃς
ὀφθῆναι ἐναντίον κυρίου τοῦ θεοῦ σου τρεῖς καιροὺς τοῦ ἐνιαυ-
τοῦ. [25]οὐ σφάξεις ἐπὶ ζύμῃ αἷμα θυμιαμάτων μου. καὶ οὐ κοιμη- 25
θήσεται εἰς τὸ πρωὶ θύματα τῆς ἑορτῆς τοῦ πασχα. [26]τὰ πρωτο- 26
γενήματα τῆς γῆς σου θήσεις εἰς τὸν οἶκον κυρίου τοῦ θεοῦ σου.
οὐ προσοίσεις ἄρνα ἐν γάλακτι μητρὸς αὐτοῦ.
[27]Καὶ εἶπεν κύριος πρὸς Μωυσῆν Γράψον σεαυτῷ τὰ ῥήματα 27
ταῦτα· ἐπὶ γὰρ τῶν λόγων τούτων τέθειμαί σοι διαθήκην καὶ τῷ
Ισραηλ. [28]καὶ ἦν ἐκεῖ Μωυσῆς ἐναντίον κυρίου τεσσαράκοντα 28
ἡμέρας καὶ τεσσαράκοντα νύκτας· ἄρτον οὐκ ἔφαγεν καὶ ὕδωρ οὐκ
ἔπιεν· καὶ ἔγραψεν τὰ ῥήματα ταῦτα ἐπὶ τῶν πλακῶν τῆς διαθή-
κης, τοὺς δέκα λόγους. — [29]ὡς δὲ κατέβαινεν Μωυσῆς ἐκ τοῦ 29
ὄρους, καὶ αἱ δύο πλάκες ἐπὶ τῶν χειρῶν Μωυσῆ· καταβαίνοντος
δὲ αὐτοῦ ἐκ τοῦ ὄρους Μωυσῆς οὐκ ᾔδει ὅτι δεδόξασται ἡ ὄψις
τοῦ χρώματος τοῦ προσώπου αὐτοῦ ἐν τῷ λαλεῖν αὐτὸν αὐτῷ.
[30]καὶ εἶδεν Ααρων καὶ πάντες οἱ πρεσβύτεροι Ισραηλ τὸν Μωυ- 30
σῆν καὶ ἦν δεδοξασμένη ἡ ὄψις τοῦ χρώματος τοῦ προσώπου
αὐτοῦ, καὶ ἐφοβήθησαν ἐγγίσαι αὐτοῦ. [31]καὶ ἐκάλεσεν αὐτοὺς Μωυ- 31
σῆς, καὶ ἐπεστράφησαν πρὸς αὐτὸν Ααρων καὶ πάντες οἱ ἄρχον-
τες τῆς συναγωγῆς, καὶ ἐλάλησεν αὐτοῖς Μωυσῆς. [32]καὶ μετὰ 32
ταῦτα προσῆλθον πρὸς αὐτὸν πάντες οἱ υἱοὶ Ισραηλ, καὶ ἐνετεί-
λατο αὐτοῖς πάντα, ὅσα ἐλάλησεν κύριος πρὸς αὐτὸν ἐν τῷ ὄρει
Σινα. [33]καὶ ἐπειδὴ κατέπαυσεν λαλῶν πρὸς αὐτούς, ἐπέθηκεν ἐπὶ 33
τὸ πρόσωπον αὐτοῦ κάλυμμα. [34]ἡνίκα δ᾽ ἂν εἰσεπορεύετο Μωυσῆς 34
ἔναντι κυρίου λαλεῖν αὐτῷ, περιῃρεῖτο τὸ κάλυμμα ἕως τοῦ ἐκπο-
ρεύεσθαι. καὶ ἐξελθὼν ἐλάλει πᾶσιν τοῖς υἱοῖς Ισραηλ ὅσα ἐνετεί-
λατο αὐτῷ κύριος, [35]καὶ εἶδον οἱ υἱοὶ Ισραηλ τὸ πρόσωπον Μωυ- 35
σῆ ὅτι δεδόξασται, καὶ περιέθηκεν Μωυσῆς κάλυμμα ἐπὶ τὸ πρόσ-
ωπον ἑαυτοῦ, ἕως ἂν εἰσέλθῃ συλλαλεῖν αὐτῷ.
[1]Καὶ συνήθροισεν Μωυσῆς πᾶσαν συναγωγὴν υἱῶν Ισραηλ καὶ 35
εἶπεν πρὸς αὐτούς Οὗτοι οἱ λόγοι, οὓς εἶπεν κύριος ποιῆσαι αὐτούς.

24 προ] απο A | πλατυνω] pr. εμ A || 25 θυσιασματων A | θυματα] -μιαμα A | της > A || 26 θησεις] εισοισεις A | ου προσοισεις B†] ουχ εψησεις A || 28 εναντι A | τα — πλακων] επι των (+ δυο A†) πλακ. τα ρημ. ταυτα A || 29 εκ 1⁰] απο A† | ορους 1⁰] + σινα A | αι δυο] ιδου αι A | εκ 2⁰] απο A | μωυσης ult.] pr. και A | χρωματος] χρωτος A: item in 30 || 30 πρεσβυτεροι] υιοι A | αυτου ult.] -τω A || 31 fin. αυτοις μωυ. B†] μ. προς αυτους A || 32 υιοι] πρεσβυτεροι Ar† | ελαλησεν] ενετειλατο B† || 33 λαλων] pr. μωυσης A || 34 του] ου A† || 35 καλυμμα] pr. το A | εαυτου] ε > A
35 1 συναγ.] pr. την A | προς αυτους > B†